## *ΘΕΜΙΣΤΕΑΣ*

*Θεμιστέας προεῖπε μὲν Λεωνίδᾳ τῷ βασιλεῖ τὴν ἐσο-
μένην ἀπώλειαν περὶ Θερμοπύλας αὐτοῦ τε καὶ τῶν
συστρατευομένων αὐτῷ, μάντις ὤν· ἀποπεμπόμενος δὲ
D ὑπὸ τοῦ Λεωνίδα εἰς τὴν Λακεδαίμονα, προφάσει τοῦ
ἀπαγγεῖλαι τὰ συμβησόμενα ταῖς δ' ἀληθείαις ἵνα μὴ
παραπόληται, οὐκ ἠνέσχετο ἀλλ' εἶπε 'μαχητὴς ἐπέμ-
φθην οὐκ ἀγγελιαφόρος.'*

## *ΘΕΟΠΟΜΠΟΣ*

1. *Θεόπομπος πρὸς τὸν ἐρωτήσαντα πῶς ἂν τις ἀσφαλέστατα τηροίη τὴν βασιλείαν, 'εἰ τοῖς μὲν φίλοις' ἔφη 'μεταδιδοίη παρρησίας δικαίας, τοὺς δ' ἀρχομένους κατὰ δύναμιν μὴ περιορῴη ἀδικουμένους.'*

2. *Πρὸς δὲ τὸν ξένον τὸν λέγοντα ὅτι παρὰ τοῖς αὐτοῦ πολίταις καλεῖται φιλολάκων, 'κρεῖσσον' ἔφη 'ἦν σε φιλοπολίτην ἢ φιλολάκωνα καλεῖσθαι.'*

E 3. *Τοῦ δ' ἐκ τῆς Ἤλιδος πρεσβευτοῦ εἰπόντος ὅτι
διὰ τοῦτ' αὐτὸν ἐξαπέστειλαν οἱ πολῖται, ὅτι μόνος τὸν
Λακωνικὸν ἐζήλωσε βίον, 'καὶ πότερον,' ἔφη, 'ὦ Ἠλεῖε,
ὁ σὸς ἢ ὁ τῶν ἄλλων πολιτῶν βίος βελτίων ἐστί;' τοῦ δ'
εἰπόντος τὸν αὑτοῦ, 'πῶς οὖν ἂν' ἔφη 'αὕτη ἡ πόλις
σῴζοιτο, ἐν ᾗ πολλῶν ὄντων εἷς μόνος ἀγαθός ἐστι;'*

4. *Λέγοντος δέ τινος ὅτι ἡ Σπάρτη σῴζεται διὰ τοὺς βασιλεῖς ἀρχικοὺς ὄντας, 'οὐκ' ἔφη 'ἀλλὰ διὰ τοὺς πολίτας πειθαρχικοὺς ὄντας.'*